UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Seuero. 368.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τὴν μέλλουσαν δεδοίκατε ἐπὶ τούτοις ἀπειλὴν, καλῶς θαμινὰ πρὸς τὴν πόλιν βαδίζετε. εἰ δὲ τῆς μὲν ἀντέχεσθε, τὴν δὲ πειραθῆναι οὐ βούλεσθε, φεύγετε τῶν θορύβων τὸν πόλεμον; ὃς δεινοῖς βέλεσι τοξεύει τὴν ἄσκησιν.

comminationem huic rei denunciatam perhorrescitis, præclarè facitis, ad vrbem crebrò commeantes. Sin autem & illam retinetis, & suppliciorum periculum facere minimè vultis, tumultuum bellum fugite, qui religiosæ ac Deo consecratæ vitæ exercitationem grauibus ac periculosis sagittis insectatur.

Σευήρῳ. τξη.

Ὥσπερ λεαίνῃ συννέμεσθαι πρόβατον ἡ φύσις οὐκ ἔδωκεν, οὕτως οὐδὲ τῦφον μοναχικῇ συνοικεῖν ὅλως ἐνδέχεται. ὁ μὲν γὰρ θηριώδης ἐστὶ καὶ ἀκάθεκτος. ἡ δὲ πάντα εὐπειθῶς τὰ χρηστὰ καταδέχεται, καὶ τὰ λυπηρὰ καρτερῶς μάλα προσίεται. εἰ τοίνυν πρὸς ταύτην ἀπεδύσω γυμνάσασθαι, ἐκείνου ἀπόστηθι. μή τι σε δεινὸν διὰ τούτου ἐργάσηται, ὁ ἔναντι κυρίου τραχηλιάσας, καὶ πάντας ἔχειν ζηλωτὰς τῆς οἰκείας ἐπάρσεως καὶ πτώσεως προθυμούμενος.

*Seuero.* 368.

Quemadmodum hoc natura minimè concessit, vt ouis cum leæna pabuletur: sic nullo omninò modo fieri potest vt fastus idem cum Monastica vita domicilium habeat. Nam ille belluinus est, frænique impatiens: hæc autem bona omnia obsequenti animo excipit, résque molestas, & acerbas toleranter admodum ac fortiter admittit. Quamobrem si te ad huius studium atque exercitationem accinxisti, ab illo abscede, ne te per eum malo aliquo is mulctet, qui aduersum Dominum ceruicem erexit, atque id agit ac studet, vt omnes superbiæ suæ & ruinæ imitatores habeat.

Κύρῳ. τξθ.

Πᾶσα μὲν γραφὴ πρὸς εὐσέβειαν βλέπουσα, καλλίστη καὶ ἐπαινετὴ, καὶ ἐγκωμίων ἀξία. αἱ δὲ ἱεραὶ πυκταὶ τῶν μαρτυρουμένων θείων γραφῶν, τῆς πρὸς θεὸν εἰσὶν ἀναβάσεως κλίμακες. πάντα τοίνυν τὰ ἐν ἐκκλησίᾳ θεοῦ παραφερόμενα, ὡς δόκιμον δέχου χρυσίον πεπυρωμένα τῷ θείῳ τῆς ἀληθείας πνεύματι. τὰ δὲ ἔξω ταύτης περιφερόμενα. εἰ καί τι ἔχει πιθανὸν πρὸς σεμνότητα, τοῖς ἔξω τῶν σῶν ἀγώνων, ζητεῖν καὶ τηρεῖν κατάλιμπανε. οἷς κόμπος λέξεως μᾶλλον ἐσπούδασται, εἰ καὶ μύθους τινὰς ἀναπλάττει αἱρέσεων.

προσφε-

*Cyro.* 369.

Scriptura omnis, quæ pietatẽ velut ob oculos propositã habet, pulcherrima est, laudibúsque atque commendatione digna. Sacrosancta autem volumina, quæ diuinarum scripturarum testimonium habent, scalæ quædam sunt, quibus ad Deũ ascenditur. Quamobrem ea omnia, quæ in Ecclesia proponuntur, tanquam probum aurum excipe, vt quæ diuino veritatis spiritu, velut igne, purgata sint. Quę autem extra hoc volumen circunferuntur, etiamsi quidpiam habeant, quod ad grauitatem vitæque honestatem allicere queat, iis, qui à tuis certaminibus remoti sunt, inuestiganda & conseruanda relinque: nimirum iis, qui verborum pompæ potiùs studuerunt, aut etiam fabulas quasdam hæresum effinxerunt.

Κυρίλλῳ Ἀλεξανδρείας. το.

Φοβεῖ με τὰ τῆς θείας γραφῆς ὑπο-

*Cyrillo Alexandrino.* 370.

Terrorem mihi Scripturæ exempla in-